507 Senofonte esorta i soldati prima della battaglia (da Senofonte)

I soldati guidati da Senofonte sono ormai vicini alla meta, ma si trovano la strada sbarrata dall'esercito nemico. Il comandante cerca di convincere i soldati che è meglio attaccare e vincere piuttosto che ritirarsi e avere sempre i nemici alle calcagna.

→ *Lessico e civiltà*, p. 315

«Ἀμαχεὶ μὲν ἐνθένδε οὐδεὶς ἡμῶν ἀποχωρήσει· ἢν γὰρ μὴ ἡμεῖς ἴωμεν ἐπὶ τοὺς πολεμίους, ἐκεῖνοι ἡμῖν ἐπακολουθήσουσιν καὶ ἐπιθήσονται. Ὁρᾶτε δὲ πότερον κρεῖττόν ἐστιν ἰέναι ἐπὶ τοὺς πολεμίους προβαλλομένους τὰ ὅπλα ἢ ὄπισθεν ἡμῶν ἐπιόντας τοὺς πολεμίους θεᾶσθαι. Ἐγὼ γὰρ πιστεύω ὅτι ἐπιόντων μὲν ἡμῶν, οἱ πολέμιοι ἀποχωρήσουσιν, ἀπιόντων δὲ πάντες ἐπιστάμεθα ὅτι τολμήσουσιν ἐφέπεσθαι. Ἡμᾶς δὲ καὶ ἀπὸ τοῦ χωρίου δεῖ διδάσκεσθαι, ὅτι οὐκ ἔστι μὴ νικῶσι σωτηρία. Πῶς γὰρ διαβατὸν τὸ πεδίον εἰ μή νικήσομεν τοὺς ἱππέας; Ἀναμιμνήσκεσθε ὅσας δὴ μάχας σὺν τοῖς θεοῖς ὁμόσε ἰόντες νενικήκατε (avete vinto) καὶ οἷα πάσχουσι οἱ τοὺς πολεμίους φεύγοντες· ἔτι δὲ ἐννοεῖτε ὅτι ἤδη ἐπὶ ταῖς θύραις τῆς Ἑλλάδος ἐσμέν.»

508 Critica del sacrificio (da Luciano)

Il sacrificio è l'offerta di vittime alla divinità, allo scopo di renderla benevola e di ottenerne protezione e aiuto. Luciano non è cristiano; eppure in questo brano si affaccia una concezione nuova e più alta della divinità, che troviamo anche nel cristianesimo.

Οὐκ οἶδα (so) εἴ τις οὕτως κατηφής ἐστιν ὅστις οὐ γελάσεται[1] ὁρῶν ἃ ἐν ταῖς θυσίαις καὶ ταῖς ἑορταῖς καὶ προσόδοις τῶν θεῶν οἱ μάταιοι αἰτοῦσι καὶ ἃ γινώσκουσι περὶ αὐτῶν. Καὶ πολύ γε, οἶμαι, πρότερον τοῦ γελᾶν πρὸς ἑαυτὸν ἐξετάσει πότερον εὐσεβεῖς αὐτοὺς χρὴ καλεῖν ἢ τοὐναντίον θεοῖς ἐχθρούς, οἵ γε οὕτω ταπεινὸν καὶ ἀγεννὲς τὸ θεῖον ὑπολαμβάνουσιν ὥστε εἶναι ἀνθρώπων ἐνδεὲς καὶ κολακευόμενον ἥδεσθαι καὶ ἀγανακτεῖν ἀμελούμενον. Οὕτως οὐδὲν ἀμισθὶ ποιοῦσιν οἱ θεοὶ ὧν ποιοῦσιν, ἀλλὰ πωλοῦσι τοῖς ἀνθρώποις τὰ ἀγαθά, καὶ ἔξεστι πρίασθαι παρ' αὐτῶν τὸ μὲν ὑγιαίνειν βοιδίου[2], τὸ δὲ πλουτεῖν βοῶν τεττάρων, τὸ δὲ βασιλεύειν ἑκατόμβης.

1. ὅστις οὐ γελάσεται: proposizione relativa con valore consecutivo: "che non riderà" = "da non ridere". 2. βοιδίου: genitivo di prezzo.